Μυσοι. Στρος 

# Θράκη.

15. γνωρίζει δὲ (ὁ Ὅμηρος) καὶ τὸν Ἕβρον, κατὰ Στράβωνα
μεμνημένος γε Μυσῶν, ἔθνους θρᾳκικοῦ παρα- Α. Στρ. 7.
κειμένου τὸν Ἕβρον. καὶ [illegible] καὶ τὴν ἑξῆς παραλί-
αν ὅσην, θρᾳκίαν οὖσαν μέχρι Πηνειοῦ, Παί-
ονάς τε ὀνομάζων καὶ Ἄθω καὶ Ἀξιὸν καὶ τὰς προ-
κειμένας τούτων νήσους.

... κἀνταῦθα δ' ἐοικότως εἴρηται τῷ ποιητῇ „ Βορέ- „ Σ. 36
ης καὶ Ζέφυρος, τώ τε Θρῄκηθεν ἄητον," οὐκ εὖ
δεξάμενος ὁ αὐτὸς (Ἐρατοσθένης) συκοφαντεῖ
ὡς καθόλου λέγοντος ὅτι ὁ Ζέφυρος ἐκ Θρᾴκης
πνεῖ, ἐκείνου λέγοντος οὐ καθόλου, ἀλλ' ὅταν
κατὰ τὴν Θρᾳκίαν θάλατταν συμπέσωσι περὶ
τὸν Μέλανα ~~[illegible]~~ κόλπον αὐτῆς τοῦ Αι-
γαίου μέρος οὖσαν. ἐπιστροφὴν γὰρ λαμβάνει πρὸς
νότον ἀκρωτηριάζουσα ἡ Θρᾴκη καθ' ἃ συνάπτει
τῇ Μακεδονίᾳ, καὶ προπίπτουσα εἰς τὸ πέλαγος τοὺς
ζεφύρους ἐντεῦθεν πνέοντας ἀποφαίνει τοῖς ἐν
Θάσῳ καὶ Λήμνῳ καὶ Ἴμβρῳ καὶ Σαμοθρᾴκῃ καὶ τῇ
περὶ αὐτὰς θαλάττῃ, καθάπερ καὶ τῇ Ἀττικῇ ἀπὸ
τῶν Σκειρωνίδων πετρῶν, ἀφ' ὧν καὶ Σκίρωνες κα-

## Θράκη

λέγονται οἱ ζέφυροι, καὶ μάλιστα οἱ ἀργέσται. οὐκ ἐνόησε δὲ τοῦτο Ἐρατοσθένης, ὑπονοήσας δ' ὅμως. αὐτὸς γὰρ ἐξηγεῖται τὴν ἐπιστροφὴν ἣν λέγω τῆς χώρας· ὡς καθόλου δέχεται, ἐπ' ἀπειρίαν αἰτιᾶται τοῦ ποιητοῦ, ὡς τοῦ ζεφύρου μὲν ἀπὸ τῆς ἑσπέρας πνέοντος καὶ τῆς Ἰβηρίας, τῆς δὲ Θρᾴκης ἐκεῖσε μὴ διατεινούσης. πότερον οὖν τὸν ζέφυρον ἀγνοεῖ ἀπὸ ἑσπέρας πνέοντα; ἀλλ' ὅταν οὕτω φῇ, φυλάττει τὴν οἰκείαν αὐτοῦ τάξιν „σὺν δ' Εὖρός τε Νότος τε πέσον Ζέφυρός τε δυσαὴς καὶ Βορέης" ἢ τὴν Θρᾴκην οὐκ οἶδε μὴ προπίπτουσαν πέραν τῶν Παιονικῶν καὶ Θετταλικῶν ὀρῶν; ἀλλὰ καὶ ταύτην τὴν ἐφεξῆς κατὰ τοὺς Θρᾷκας εἰδὼς καὶ κατονομάζων τήν τε παραλίαν καὶ τὴν μεσόγαιαν Μάγνητας μέν τινας καὶ Μαλιεῖς καὶ τοὺς ἐφεξῆς Ἕλληνας καταλέγει μέχρι Θεσπρωτῶν, ὁμοίως δὲ καὶ τοῖς Παίοσι τοὺς ὁμόρους Δόλοπας καὶ Σελλοὺς περὶ Δωδώνην μέχρις Ἀχελῴου. Θρᾳκῶν δ' οὐ μέμνηται περαιτέρω.



## Θράκη

C. 128-29. . . Φέρεται δ' ὅλος (ὁ Ἴστρος) ἀπὸ τῆς ἑσπέρας ἐπὶ τὴν ἕω καὶ τὸν Εὔξεινον πόντον, ἐν ἀριστερᾷ μὲν λείπων τὴν ὅλην Γερμανίαν ἀρχ . . . . . . ἐν δεξιᾷ δὲ τήν τε Θρᾴκην ἅπασαν καὶ Ἰλλυρίδα, λοιπὴν δὲ καὶ τελευταίαν τὴν Ἑλλάδα. Στρ. Β' Σελ. 173

C. 301. . . Ἀλέξανδρος ὁ τοῦ Φιλίππου κατὰ τὴν ἐπὶ Θρᾷκας τοὺς ὑπὲρ τοῦ Αἵμου στρατείαν ἐμβαλὼν εἰς Τριβαλλούς, ὁρῶν μέχρι τοῦ Ἴστρου καθήκοντας καὶ τῆς ἐν αὐτῷ νήσου Πεύκης, τὰ πέραν δὲ Γέτας ἔχοντας, ἀφῖχθαι λέγεται μέχρι δεῦρο, καὶ εἰς μὲν τὴν νῆσον ἀποβῆναι μὴ δύνασθαι σπάνει πλοίων (ἐκεῖσε γὰρ καταφυγόντα τὸν τῶν Τριβαλλῶν βασιλέα Σύρμον ἀντισχεῖν πρὸς τὴν ἐπιχείρησιν) εἰς δὲ τοὺς Γέτας διαβάντα ἑλεῖν αὐτῶν πόλιν καὶ ἀναστρέψαι διὰ ταχέων εἰς τὴν οἰκείαν, λαβόντα δῶρα [παρὰ] τῶν ἐθνῶν καὶ παρὰ τοῦ Σύρμου. Ζ' Σελ. 414

# Θράκη.

Θ. σελ 567 401. 3. Η δε Βοιωτία υπό βαρβάρων πρότερον
μεν ωκείτο Αόνων και Τεμμίκων εκ του Σουνίου
πεπλανημένων και Λελέγων και Υάντων· είτα Φοίνικες
έσχον οι μετά Κάδμου, ος τήν τε Καδμείαν ετείχι-
σε και την αρχήν τοις εγγόνοις απέλιπεν. εκείνοι δε
τας Θήβας τη Καδμεία προσέκτισαν, και συνεφύλα-
ξαν την αρχήν ηγούμενοι των πλείστων Βοιωτών
έως της των Επιγόνων στρατείας. κατά δε ταύτην ο-
λίγον χρόνον εκλιπόντες τας Θήβας επανήλθον
πάλιν· ως δ' αύτως υπό Θρακών και Πελασγών εκ-
πεσόντες εν Θετταλία συνεστήσαντο την αρχήν με-
τά Αρναίων επί πολύν χρόνον, ώστε και Βοιωτούς
κληθήναι πάντας. είτ' ανέστρεψαν εις την οικείαν, ή-
δη του Αιολικού στόλου παρεσκευασμένου περί Αυ-
λίδα της Βοιωτίας, ον έστελλον εις την Ασίαν οι
Ορέστου παίδες. προσθέντες δε τη Βοιωτία την Ορ-
χομενίαν - - - - . . . . κοινή εξέβαλον
τους μεν Πελασγούς εις Αθήνας, αφ' ων εκλήθη μέ-
ρος τι της πόλεως Πελασγικόν . . . . . , τους δε
Θράκας επί τον Παρνασσόν. . . . .
25 Φησί δ' Έφορος τους μεν Θράκας ποιησαμένους
σπονδάς προς τους Βοιωτούς επιθέσθαι νύκτωρ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# Θράκη

C313. Μέρος μὲν δή τι τῆς χώρας ταύτης ἠρήμω- Στράβων
σαν οἱ Δακοὶ καταπολεμήσαντες Βοίους καὶ Ταυρί- Ζ. Σελ. 430.
σκους ἔθνη Κελτικὰ τὰ ὑπὸ Κριτασίρῳ, φάσκοντες
εἶναι τὴν χώραν σφετέραν, καίπερ ποταμοῦ διείργον-
τος τοῦ Παρισοῦ, ῥέοντος ἀπὸ τῶν ὀρῶν ἐπὶ τὸν Ἴστρον
κατὰ τοὺς Σκορδίσκους καλουμένους Γαλάτας· καὶ γὰρ
οὗτοι (;) τοῖς Ἰλλυρικοῖς ἔθνεσι καὶ τοῖς _Θρᾳκίοις_ ἀ-
ναμὶξ _ᾤκησαν_. ....

C. 317. Οἱ Αὐταριᾶται μὲν οὖν μέγιστον καὶ ἄριστον Σελ. 436.
τῶν Ἰλλυριῶν ἔθνος ὑπῆρξεν - - - - - - -
_καταστρεφόμενοι_ δὲ ποτὲ οἱ Αὐταριᾶται
Τριβαλλοὺς ἀπὸ Ἀγριάνων μέχρι τοῦ Ἴστρου
καθήκοντας ἡμερῶν πεντεκαίδεκα ὁδὸν ἐ-
πῆρξαν καὶ τῶν ἄλλων Θρᾳκῶν τε καὶ Ἰλλυριῶν·
κατελύθησαν δ' ὑπὸ Σκορδίσκων πρότερον, ὕστε-
ρον δ' ὑπὸ Ρωμαίων, οἳ καὶ τοὺς Σκορδίσκους αὐ-
τοὺς κατεπολέμησαν πολὺν χρόνον ἰσχύσαντας.

## Θρᾴκη.

Σελ. 441 C. 321 Ἑκαταῖος μὲν οὖν ὁ Μιλήσιος περὶ τῆς Πελοποννήσου φησὶν διότι πρὸ τῶν Ἑλλήνων ᾤκησαν αὐτὴν βάρβαροι, σχεδὸν δέ τι καὶ ἡ σύμπασα Ἑλλὰς κατοικία βαρβάρων ὑπῆρξε τὸ παλαιὸν ἀπ' αὐτῶν λογιζομένοις τῶν μνημονευομένων, Πέλοπος μὲν ἐκ τῆς Φρυγίας . . . . . Δαναοῦ δὲ ἐξ Αἰγύπτου, Δρυόπων τε καὶ Καυκώνων καὶ Πελασγῶν καὶ Λελέγων καὶ ἄλλων τοιούτων κατανειμαμένων τὰ ἐντὸς Ἰσθμοῦ· καὶ τὰ ἐκτὸς δέ· τὴν μὲν γὰρ Ἀττικὴν οἱ μετὰ Εὐμόλπου Θρᾷκες ἔσχον, τῆς δὲ Φωκίδος τὴν Δαυλίδα Τηρεύς.

Σελ. 442. . . . οἱ δὲ Θρᾷκες καὶ Ἰλλυριοὶ καὶ Ἠπειρῶται καὶ μέχρι νῦν ἐν πλευραῖς εἰσιν· ἔτι μέντοι μᾶλλον πρότερον ἢ νῦν, ὅπου γε καὶ τῆς ἐν τῷ παράλῳ Ἑλλάδος ἀναμφιλέκτως νῦν οὔσης τὴν πολλὴν οἱ βάρβαροι ἔχουσι, Μακεδονίαν μὲν Θρᾷκες καί τινα μέρη τῆς Θετταλίας, Ἀκαρνᾶνας δὲ καὶ Αἰτωλοὺς τὰ ἄνω Θεσπρωτοὶ κτλ.



## Θρᾴκη.

C. 322. . . . ἀρξαμένοις ἀπὸ τῆς κατὰ τὸν Ἰόνιον κόλπον παραλίας (ἐγχειρίδιον γραφή . . . ἐπειδὴ τὰ καθ' ἕκαστα)· αὕτη δὲ ἐστιν ἣν ἐκπίπτει ὁ ἐκ τοῦ Ἀδρίου πλοῦς. Σελ. 443.
Τὸ ταύτης δὴ τὰ πρῶτα μέρη τὰ περὶ Ἐπίδαμνον καὶ Ἀπολλωνίαν ἐστίν. ἐκ δὲ τῆς Ἀπολλωνίας εἰς Μακεδονίαν ἡ Ἐγνατία ἐστὶν ὁδὸς πρὸς ἕω, βεβηματισμένη κατὰ μίλιον καὶ κατεστηλωμένη μέχρι Κυψέλων καὶ Ἕβρου ποταμοῦ. μιλίων δ' ἐστὶ πεντακοσίων τριάκοντα πέντε.

Ὅτι κατὰ τὸν Ἄξιον ποταμὸν ἡ Θεσσαλονίκη . . . κτίσμα Κασσάνδρου. . . . κατῴκισε δὲ τὰ πέριξ πολίχνια εἰς αὐτήν, οἷον Χαλάστραν Αἴνειαν Κισσὸν ἢ Αἶνον καὶ ἄλλα. ἐκ δὲ τοῦ Κισσοῦ τάχα ὑπονοήσειεν ἄν τις γενέσθαι καὶ τὸν παρὰ τῷ ποιητῇ Ἰφιδάμαντα, ὃν ὁ πάππος Κισσεὺς ἔθρεψεν αὐτὸν (φησὶν) ἐν Θρᾴκῃ, ἣ νῦν Μακεδονία καλεῖται. Epit. Σελ. 461

# Θράκη.

Σελ. 455. Λοιπὴ δ' ἐστὶ τῆς Εὐρώπης ἥ τε Μακεδονία καὶ τῆς Θρᾴκης τὰ συνεχῆ ταύτῃ μέχρι Βυζαντίου καὶ ἡ Ἑλλὰς καὶ αἱ προσεχεῖς νῆσοι. ἔστι μὲν οὖν Ἑλλὰς καὶ ἡ Μακεδονία· νυνὶ μέντοι τῇ φύσει τῶν τόπων ἀκολουθοῦντες καὶ τῷ σχήματι χωρὶς ἔγνωμεν αὐτὴν ἀπὸ τῆς ἄλλης Ἑλλάδος τάξαι καὶ συνάψαι πρὸς τὴν ὅμορον αὐτῇ Θρᾴκην μέχρι τοῦ στόματος τοῦ Εὐξείνου καὶ τῆς Προποντίδος. εἶτα μετ' ὀλίγα μέμνηται Κυψέλων καὶ τοῦ Ἕβρου ποταμοῦ καταγράφει δὲ καί τι σχῆμα παραλληλόγραμμον, ἐν ᾧ ἡ σύμπασα Μακεδονία ἐστίν.

Ὅτι ἡ Μακεδονία περιορίζεται ἐκ μὲν δυσμῶν τῇ παραλίᾳ τοῦ Ἀδρίου, ἐξ ἀνατολῶν δὲ τῇ παραλλήλῳ ταύτης μεσημβρινῇ γραμμῇ, τῇ διὰ τῶν ἐκβολῶν Ἕβρου ποταμοῦ καὶ Κυψέλων πόλεως, ἐκ βορρᾶ δὲ τῇ νοουμένῃ εὐθείᾳ γραμμῇ τῇ διὰ Βερτίσκου ὄρους καὶ Σκάρδου καὶ Ὀρβήλου καὶ Ῥοδόπης καὶ Αἵμου. τὰ γὰρ ὄρη ταῦτα ἀρχόμενα ἀπὸ τοῦ Ἀδρίου διήκει κατ' εὐθεῖαν γραμμὴν ἕως τοῦ Εὐξείνου, ποιοῦντα χερρόνησον μεγάλην πρὸς νότον, τήν τε Θρᾴκην ὁμοῦ καὶ Μακεδονίαν καὶ Ἤπειρον καὶ Ἀχαΐαν . . .

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# Θράκη.

Ὅτι Ἠμαθία ἐκαλεῖτο πρότερον ἡ νῦν Μακεδονία. Στράβων
Ζ. Σελ. 455
ἔλαβε δὲ τοὔνομα τοῦτο ἀπ' ἀρχαίου τινὸς τῶν
ἡγεμόνων Μακεδόνος. ἦν δὲ καὶ πόλις Ἠμαθία πρὸς
θαλάσσῃ. κατεῖχον δὲ τὴν χώραν ταύτην Ἠ-
πειρωτῶν τινες καὶ Ἰλλυριῶν, τὸ δὲ πλεῖστον Βοτ-
τιαῖοι καὶ Θρᾷκες. οἱ μὲν ἐκ Κρήτης ὥς φασι, τὸ
γένος ὄντες, ἡγεμόνα ἔχοντες Βόττωνα, Θρᾳκῶν
δὲ Πίερες μὲν ἐνέμοντο τὴν Πιερίαν καὶ τὰ περὶ Ὄ-
λυμπον, Παίονες δὲ [τὰ] περὶ τὸν Ἀξιὸν ποταμὸν καὶ
τὴν καλουμένην διὰ τοῦτο Ἀμφαξῖτιν, Ἠδωνοὶ δὲ καὶ
Βισάλται τὴν λοιπὴν μέχρι Στρυμόνος· ὧν οἱ μὲν
αὐτὸ τοῦτο προσηγορεύοντο Βισάλται, Ἠδωνῶν δ' οἱ
μὲν Μύγδονες, οἱ δὲ Ἠδῶνες, οἱ δὲ Σίθωνες. τού-
των δὲ πάντων οἱ Ἀργεάδαι καλούμενοι κατέστησαν
κύριοι καὶ Χαλκιδεῖς οἱ ἐν Εὐβοίᾳ. ἐπῆλθον δὲ
καὶ Χαλκιδεῖς οἱ ἐν Εὐβοίᾳ ἐπὶ τὴν τῶν Σιθώνων
καὶ συνῴκισαν πόλεις ἐν αὐτῇ περὶ τριάκοντα, ἐξ
ὧν ὕστερον ἐκβαλλόμενοι συνῆλθον εἰς μίαν αἱ
πλεῖσται αὐτῶν, εἰς τὴν Ὄλυνθον· ὠνομάζοντο δ' οἱ
ἐπὶ Θρᾴκης Χαλκιδεῖς. Σ.

## Θρᾴκη

Σελ. 468 Ἔστι δ' ἡ Θρᾴκη σύμπασα ἐκ δυεῖν καὶ εἴκοσιν ἐθνῶν συνεστῶσα. δύναται δὲ ~~καίπερ~~ ἐκπέμπειν καίπερ σφόδρα περισσῶς ἐκπεπονημένη μυριάδας καὶ πεντακισχιλίους ἱππέας πεζῶν δὲ καὶ ... μυριάδας. μετὰ δὲ τὴν Μαρώνειαν Ὀρθαγορία πόλις καὶ τὰ περὶ Σέρριον παράπλους τραχύς, καὶ τὸ τῶν Σαμοθρᾴκων πολίχνιον Τέμπυρα καὶ ἄλλο Χαράκωμα, ᾧ πρόκειται ἡ Σαμοθρᾴκη νῆσος, καὶ Ἴμβρος οὐ πολὺ ἄπωθεν ταύτης· πλέον δ' ἡ διπλάσιον ἡ Θάσος. ἀπὸ δὲ Χαρακώματος Δορίσκος, ὅπου ἐξηρίθμησε Ξέρξης τῆς στρατιᾶς τὸ πλῆθος. εἶθ' Ἕβρος ἀνάπλουν ἔχων εἰς Κύψελα ἑκατὸν ... τῆς Μακεδονίας φησὶ τοῦτο ὅριον, ἣν ἀφῄρηντο Περσέα Ῥωμαῖοι καὶ μετὰ ταῦτα τὸν Ψευδοφίλιππον. . . . .

παροικοῦσι δὲ τὸν Ἕβρον Κορπίλοι καὶ Βρέναι ἐπ' ἀνωτέρω, εἶθ' ἔσχατοι Βέσσοι· μέχρι γὰρ δεῦρο ὁ ἀνάπλους. ἅπαντα δὲ τὰ ἔθνη ταῦτα λῃστρικά, μάλιστα δ' οἱ Βέσσοι, οὓς λέγει γειτονεύειν Ὀδρύσαις καὶ Σαπαίοις. Ἀστῶν δὲ βασίλεια ἡ Βιζύη. Ὀδρύσας δὲ καλοῦσιν ἔνιοι πάντας τοὺς ἀπὸ Ἕβρου καὶ Κυψέλων μέχρι Ὀδησσοῦ



## Θρᾴκη

τῆς παραλίας ὑπεροικοῦντας, ὧν ἐβασίλευσεν Ἀμάδοκος καὶ Κερσοβλέπτης καὶ Βηρισάδης καὶ Σεύθης καὶ Κότυς. Σ.

52. Πρὸς δὲ τῇ ἐκβολῇ τοῦ Ἕβρου διστόμου ὄντος πόλις Αἶνος ἐν τῷ Μέλανι κόλπῳ κεῖται, κτίσμα Μιτυληναίων καὶ Κυμαίων, ἔτι δὲ πρότερον Ἀλωπεκοννησίων. εἶθ' ἄκρα Σαρπηδών. εἶθ' ἡ Χερρόνησος ἡ Θρᾳκία καλουμένη, ποιοῦσα τήν τε Προποντίδα καὶ τὸν Μέλανα κόλπον καὶ τὸν Ἑλλήσποντον· ἄκρα γὰρ ἔκκειται πρὸς εὐρόνοτον, συνάπτουσα τὴν Εὐρώπην πρὸς τὴν Ἀσίαν ἑπταστάδιον πορθμὸν τὸν κατὰ Ἄβυδον καὶ Σηστόν, ἐν ἀριστερᾷ μὲν τὴν Προποντίδα ἔχουσα, ἐν δεξιᾷ δὲ τὸν Μέλανα κόλπον καλούμενον οὕτως ἀπὸ τοῦ Μέλανος ἐκδιδόντος εἰς αὐτόν, καθάπερ Ἡρόδοτος καὶ Εὔδοξος. Σελ. 469 (;)

# Θράκη Θράκες

στρατοπεδεύσαντας ἐμπορεύσασθαι ὡς ξένοις γεγο- Στράβων
νότας. διαμαρτυρούσιν [δ'] αὐτὴ ... Θ. Σελ 567
ἅμα ὅτι τὰς σπονδὰς παρέβαινον, καὶ πα-
ραβάντας φάσκειν εἰρήνης· σπείσασθαι γὰρ ἡ-
μέρας, νύκτωρ δ' ἐπιθέσθαι· ἀφ' οὗ δὴ καὶ τὴν πα-
ροιμίαν ῥηθῆναι „Θρᾳκία παρεύρεσις"

437. . . πολεμῶν γὰρ περὶ τῆς ἡγεμονίας „ . . 616.
(ὁ Φίλιππος) ἐπεχείρει κρατύνεσθαι τοῖς ἐγγύθεν,
καὶ καθάπερ αὐτῆς τῆς Μαγνήτιδος τὰ πολλὰ
μέρη Μακεδονίαν ἐποίησε καὶ τῆς Θρᾴκης καὶ
τῆς ἄλλης τῆς κύκλῳ γῆς, οὕτω καὶ τὰς πρὸ τῆς
Μαγνησίας νήσους ἀφῃρεῖτο.

442 . . . ἐοίκασιν οὖν διὰ τὰς συνεχεῖς μετα- „ 623
στάσεις καὶ ἐξαλλάξεις τῶν πολιτειῶν καὶ ἐπιμί-
ξεις συχνὰς καὶ τὰ ὀνόματα καὶ τὰ ἔθνη, ὥστε τοῖς
νῦν πολλὴν ἀσάφειαν παρέχειν . . . .
τοὺς μὲν γὰρ Γυρτωνίους Φλεγύας πρότερον
ἐκάλουν ἀπὸ Φλεγύου τοῦ Ἰξίονος ἀδελφοῦ

τοὺς δὲ Κραννωνίους Ἐφύρους, ὥστε λαμβάνειν, ὅταν φῇ ὁ ποιητής
τὼ μὲν ἄρ' ἐκ Θρῄκης Ἐφύρους μέτα θωρήσσεσθον
ἠὲ μετὰ Φλεγύας μεγαλήτορας
τίνας φησὶ βούλεται λέγειν.

II .. 627 445. 3. . . φησὶ δ' Ἀριστοτέλης ἐξ Ἄβας τῆς Φωκικῆς Θρᾷκας ὁρμηθέντας ἐποικῆσαι τὴν νῆσον (Εὔβοιαν) καὶ ἐπονομάσαι τοὺς ἔχοντας αὐτήν.

Δ' στ. 708 504. Ὁ δὲ Μερμόδας καταφέρεται ἀπὸ τῶν ὀρῶν διὰ τῆς τῶν Ἀμαζόνων καὶ τῆς Σιρακηνῆς καὶ ὅση μεταξὺ ἔρημος, εἰς τὴν Μαιῶτιν ἐκδίδωσι. τοὺς δὲ Γαργαρέας συναναβῆναι μὲν ἐκ Θεμισκύρας φασὶ ταῖς Ἀμαζόσιν εἰς τούσδε τοὺς τόπους, εἶτ' ἀποστάντας αὐτῶν πολεμεῖν μετὰ Θρᾳκῶν καὶ Εὐβοέων τινῶν πλανηθέντων μέχρι δεῦρο πρὸς αὐτάς, ὕστερον δὲ καταλυσαμένους πρὸς αὐτὰς πόλεμον ἐπὶ τοῖσδε ποιήσασθαι συμβάσεις, ὥστε τέκνων



συγκοινωνεῖν μόνον, ζῆν δὲ καθ' αὑτοὺς ἑκατέρους.

541. 2. Εἰς δὲ τὸν Εὔξεινον πόντον φερομένοις ἐκ τῆς Προποντίδος, ἐν ἀριστερᾷ μὲν τὰ προσεχῆ τῷ Βυζαντίῳ κεῖται· Θρᾳκῶν δ' ἐστί, καλεῖται δὲ τὰ ἀριστερὰ τοῦ Πόντου· ἐν δεξιᾷ δὲ τὰ προσεχῆ Χαλκηδόνι. Βιθυνῶν δ' ἐστὶ τὰ πρῶτα, εἶτα Μαριανδυνῶν (τινὲς δὲ καὶ Καυκώνων φασίν) εἶτα Παφλαγόνων . . . ΙΒ. στχ 760.

3. Οἱ μὲν οὖν Βιθυνοὶ ὅτι πρότερον Μυσοὶ ὄντες μετωνομάσθησαν οὕτως ἀπὸ τῶν Θρᾳκῶν τῶν ἐποικησάντων, Βιθυνῶν τε καὶ Θυνῶν, ὁμολογεῖται παρὰ τῶν πλείστων, καὶ σημεῖα τίθενται τοῦ μὲν τῶν Βιθυνῶν ἔθνους τὸ μέχρι νῦν ἐν τῇ Θρᾴκῃ λέγεσθαί τινας Βιθυνούς, τοῦ δὲ τῶν Θυνῶν τὴν Θυνιάδα ἀκτὴν τὴν πρὸς Ἀπολλωνίᾳ καὶ Σαλμυδησσῷ. καὶ Βέβρυκες δὲ οἱ τούτων προεποικήσαντες τὴν Μυσίαν Θρᾷκες, ὡς εἰκάζομεν. εἴρηται δ' ὅτι καὶ αὐτοὶ οἱ Μυσοὶ Θρᾳκῶν ἄποικοί εἰσι τῶν νῦν λεγομένων Μοισῶν.

# Θρᾶκες. Θρᾴκη

Σελ. 776 552… Μαιάνδριος γοῦν ἐκ τῶν Λευκοσύρων φησὶ τοὺς Ἐνετοὺς ὁρμηθέντας συμμαχῆσαι τοῖς Τρωσίν, ἐκεῖθεν δὲ μετὰ τῶν Θρᾳκῶν ἀπᾶραι καὶ οἰκῆσαι περὶ τὸν τοῦ Ἀδρίου μυχόν, τοὺς δὲ μὴ μετασχόντας τῆς στρατείας Ἐνετοὺς Καππάδοκας γενέσθαι.

〃 792. C. 564. Διορίσαι δὲ τοὺς ὅρους χαλεπὸν τοὺς τῆς Βιθυνῶν καὶ Φρυγῶν καὶ Μυσῶν καὶ ἔτι Δολιόνων τῶν περὶ Κύζικον καὶ Μυγδόνων καὶ Τρώων. καθ' ὅτι μὲν ἦσαν δὴ ἕκαστον φῦλον χωρὶς ὁμολογεῖται («καὶ ἐπὶ τῶν Φρυγῶν καὶ τῶν Μυσῶν καὶ παροιμιάζονται» χωρὶς τὰ Μυσῶν καὶ Φρυγῶν ὁρίσματα), διορίσαι δὲ χαλεπόν. αἴτιον δὲ τὸ τοὺς ἐπήλυδας βαρβάρους καὶ στρατιώτας ὄντας μὴ βεβαίως κατέχειν τὴν κρατηθεῖσαν, ἀλλὰ πλάνητας εἶναι τὸ πλέον ἐκβάλλοντας καὶ ἐκβαλλομένους. ἅπαντα δὲ τὰ ἔθνη ταῦτα Θρᾴκια τις εἰκάζοι ἂν διὰ τὸ τὴν περαίαν νέμεσθαι τούτους καὶ διὰ τὸ μὴ πολὺ ἐξαλλάττειν ἀλλήλων ἑκατέρους.